Universitätsbibliothek Paderborn

Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

V. De Theoldosio Magistro militum.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A

Cap. V.

De Theodoſio Magiſtro militum.

PEr idem tempus Theodoſius, tum ob Majorum ſuorum nobilitatem, tum ob propriam virtutem, omnium ſermonibus celebrabatur: atque idcirco cum æqualium invidiâ premeretur, in Hiſpaniis degebat: illic enim & natus fuerat, & educatus. Imperator igitur ad inopiam redactus conſilii: quippe Barbari victoria elati, & erant & videbantur inſuperabiles: finem malis futurum eſſe credidit, ſi Theodoſius Dux belli gerendi conſtitueretur. B Continuò itaque illum ab Hiſpania accitum, & Magiſtri militum dignitate auctum, cum copiis, quas collectas habebat, adverſus Barbaros mittit. Ille vero fide munitus, alacri animo iter arripuit. Ingreſſusque in Thraciam & Barbaros infeſtis ſignis irruentes conſpicatus, milites ſuos inſtruxit ad prælium. Commiſſaque pugna, Barbari cum impetum noſtrorum ferre non poſſent, ordines deſeruerunt. Et in fugam verſi, ipſi quidem terga dabant; Romani vero fugientibus acriter inſtabant. Magna tunc facta eſt strages Barbarorum. Non enim à Romanis ſolum, verum etiam à ſuis ipſi cædebantur. C Ita plurimis interfectis, paucisque qui ſe occultare potuerant, Iſtrum transgreſſis, ſtatim Dux præſtantiſſimus cum per vicinas urbes exercitum ſuum diſperſiſſet: ipſe contento curſu ad Imperatorem Gratianum perrexit, victoriæ ſuæ futurus nuntius. Ac primo, ne Imperatori quidem ipſi, magnitudine rei attonito, veriſimilia eſſe videbantur, quæ narrabat. Illi vero, quos invidia ſtimulabat, & fugiſſe eum dicebant, & exercitum amiſiſſe. Tum ille, ipſos æmulos atque adverſarios ſuos mitti poſtulavit, qui cæſorum Barbarorum multitudinem cernerent. D Facile porro eſſe ajebat, vel ex ſpoliis numerum peremptorum cognoſcere. His verbis aſſenſus Imperator, miſit qui rem ipſam inſpicerent, ac ſibi renuntiarent.

Κεφ. ε΄.

Περὶ τῆς Θεοδοσίου στρατηγίας.

ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν Θεοδόσιος, διά τε τὴν τῶν προγόνων περιφάνειαν, καὶ διὰ τὴν οἰκείαν ἀνδρείαν, ὀνομαστότατος ἦν· καὶ τούτου χάριν ὑπὸ τοῦ φθόνου τῶν ὁμοτίμων βαλλόμενος, ἐν ταῖς Ἱσπανίαις διέτριβεν. ἐν ἐκείναις γὰρ ἔφυ τε καὶ ἐτράφη· ἀπορῶν δὴ οὖν ὁ βασιλεὺς, ὅ τι χρὴ δρᾶσαι· φυσηθέντες γὰρ ἐπὶ τῆς νίκης οἱ βάρβαροι, δύσμαχοι ἦσάν τε καὶ ἐδόκουν· τὴν Θεοδοσίου στρατηγίαν λύσιν ὑπέλαβε τῶν κακῶν. αὐτίκα δὴ οὖν ἐκ τῶν Ἱσπανιῶν τὸν ἄνδρα μεταπεμψάμενος, καὶ στρατηγὸν χειροτονήσας, μετὰ τῆς συνειλεγμένης ἐξέπεμψε στρατιᾶς. ὁ δὲ τῇ πίστει φραξάμενος θαρσαλέως ἐξώρμησε· καὶ τῆς Θρᾴκης ἐπιβὰς, καὶ τοὺς βαρβάρους θεασάμενος ὁμόσε χωροῦντας, ἔταξε τὴν στρατιὰν ὡς εἰς μάχην. ἀψιμαχίας δὲ γινομένης, οὐκ ἐνεγκόντες ἐκεῖνοι τὴν ἐμβολὴν, τὴν τάξιν κατέλιπον. τῆς δὲ τροπῆς γινομένης, οἱ μὲν ἔφευγον, οἱ δὲ κατακράτος ἐδίωκον. πολὺς δὲ φόνος τῶν βαρβάρων ἐγένετο. οὐ μόνον γὰρ ὑπὸ Ῥωμαίων, ἀλλὰ καὶ ὑπ' ἀλλήλων ἐκτείνοντο. οὕτω δὲ τῶν πλείστων ἀναιρεθέντων, ὀλίγων δὲ τῶν λαθεῖν δυνηθέντων διαβάντων τὸν Ἴστρον, αὐθὺς ὁ ἄριστος στρατηγὸς, ἣν εἶχε στρατιὰν ἐν ταῖς πελαζούσαις πόλεσι διελὼν, αὐτὸς πρὸς τὸν βασιλέα Γρατιανὸν κατὰ τάχος ἐλαύνων ἀφίκετο, τῶν οἰκείων τροπαίων γινόμενος ἄγγελος. καὶ πιστὰ μὲν λέγειν οὐδὲ αὐτῷ ἐδόκει τῷ βασιλεῖ, ὑπερεκπληττομένῳ τὸ γεγονός· οἱ δὲ ταῖς ἀκίσι τοῦ φθόνου βαλλόμενοι, καὶ πεφευγέναι αὐτὸν ἔλεγον καὶ διεφθαρκέναι τὴν στρατιάν. ὁ δὲ τοὺς ἀντιταγμένους ἐξῄτησεν ἀποστεῖλαι, καὶ γνῶναι τῶν ἀνῃρημένων βαρβάρων τὸ πλῆθος. ῥᾴδιον δὲ ἔφη, καὶ ἀπὸ τῶν σκύλων ἐπιγνῶναι τὸν ἀριθμόν. τούτοις εἴξας τοῖς λόγοις ὁ βασιλεὺς, ἀπέστειλε τοὺς ὀψομένους τὰ πεπραγμένα, καὶ ταῦτα μηνύσοντας.